# ΚΑΝΟΝΑ ΠΙΣΤΕΩΣ - MODEL OF FAITH



**GREEK ORTHODOX ARCHDIOCESE OF AUSTRALIA**
**PARISH OF SAINT NICHOLAS MARRICKVILLE**

Priest: Fr Michael Tsolakis 0418 883 107 | 9558 4453
www.stnicholas.com.au | FaceBook: Parish St Nicholas Marrickville

## Κυριακή 11 Αὐγούστου 2024
## Κυριακή Ζ΄ Ματθαῖου
## Κυριακὴ μετὰ τὴν Ἑορτήν

**Ἀπολυτίκιον Ἀναστάσιμον Ἦχος πλ. β΄.**
Ἀγγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμάσου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν,καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσατὸ ἄχραντόν σου σῶμα. Ἐσκύλευσας τὸν Ἅδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ, ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν, ὁἀναστὰς ἐκ των νεκρῶν, Κύριε δόξα σοι.

**Ἀπολυτίκιον τῆς Ἑορτῆς.**
Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδυναντο. Λάμψον καὶ ἡμῖντοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.

**Ἀπολυτίκιον Τοῦ Ἁγίου Νικολάου.**
Κανόνα πίστεως καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, Πάτερ ἱεράρχα **Νικόλαε**· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἀπολυτίκιον. Κοσμά και Δαμιανού**
Άγιοι Ανάργυροι καί θαυματουργοί, επισκέψασθε τάς ασθενείας ημών, δωρεάν ελάβετε, δωρεάν δότε ημίν.

## Sunday 11 August 2024
## 17th Sunday of Matthew
## Sunday after the Feast

**Resurrectional Apolytikion**
**A**ngelic Powers attended at your grave, and those who were on guard became as dead; and Mary stood in the tomb, seeking your pure Body. You have despoiled Death and not been touched by him; you met the Virgin and gave us life. O Lord who rose from the dead, glory to you.

**Apolytikion of the Feast**
**Y**ou were transfigured on the mount, Christ our God, showing your Disciples your glory, as much as they could bear. Shine also on us sinners your eternal light, through the intercessions of the Theotokos. Giver of light, glory to you.

**St Nicholas Hymn**
A model of faith and the image of gentleness, the example of your life has shown you forth to your sheep-fold to be a master of temperance. You obtained thus through being lowly, gifts from on high, and riches through poverty, **Nicholas**, our father and priest of priests, intercede with Christ our God that He may save our soul.

**Sts Cosmas & Damianos**
Sainted Unmercenaries and Wonder Workers, regard our infirmities; freely you have received, freely share with us.

**Ἀπολυτίκιον Τοῦ Ἁγίου Παΐσιου**
**Τόν συνάναρχον Λόγον**

Αὐστραλίας προστάτην, φρουρόν τε ἄγρυπνον, καί τοῦ Ἄθωνος ὄρους στύλον ἀείφωτον, ἀνυμνήσωμεν πιστοί, θεῖον **Παΐσιον**, ἐξαιτούμενοι αὐτοῦ τάς πρεσβείας πρός Θεόν, κραυγάζοντες ὁμοφρόνως· ῥύου ὦ πάτερ παντοίων, τῶν τοξευμάτων τοῦ ἀλάστορος.

**Κοντάκιον.**

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου,Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

**ΑΠΟΣΤΟΛΟΣ**
**Προς Ῥωμαίους Ἐπιστολῆς Παύλου**
**(ιε΄, 1-7)**

Ἀδελφοί, ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. Ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλά, καθὼς γέγραπται, Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ᾽ ἐμέ. Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη, ἵνα διὰ τῆς ὑπομονῆς καὶ διὰ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν. Ὁ δὲ θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν Ἰησοῦν· ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ὑμᾶς, εἰς δόξαν θεοῦ.

**St Paisios Hymn**
**The Word Eternal**

O Protector of Australia, vigilant guardian and resplendent pillar of Mount Athos, we the faithful let us praise the holy **Paisios**, and beseeching his intercessions before God, crying out with one voice, deliver us, O father of all, from the arrows of the vengeful one.

**Kontakion**

Upon the mountain were You transfigured, and Your disciples beheld Your glory as far as they were able, O Christ our God; so that when they would see You crucified they might understand that Your Passion was deliberate, and declare to the world that in truth You are the Father's radiance.

**EPISTLE**
**Paul's Letter to the Romans**
**(15:1-7)**

Brethren, we who are strong ought to bear with the failings of the weak, and not to please ourselves; let each of us please his neighbor for his good, to edify him. For Christ did not please himself; but, as it is written, "The reproaches of those who reproached thee fell on me." For whatever was written in former days was written for our instruction, that by steadfastness and by the encouragement of the scriptures we might have hope. May the God of steadfastness and encouragement grant you to live in such harmony with one another, in accord with Christ Jesus, that together you may with one voice glorify the God and Father of our Lord Jesus Christ. Welcome one another, therefore, as Christ has welcomed you, for the glory of God.

**Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου (θ′, 27-35)**

Τῷ καιρῷ ἐκείνῳ, παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες· ἐλέησον ἡμᾶς, υἱὲ Δαυΐδ. ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ· ναί, Κύριε. τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· ὁρᾶτε μηδεὶς γινωσκέτω. οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.

Αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον· καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός, καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες ὅτι οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. οἱ δὲ Φαρισαῖοι ἔλεγον· ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

**Holy Gospel according to St Matthew (9:27-35)**

At that time, as Jesus passed by, two blind men followed him, crying aloud, "Have mercy on us, Son of David." When he entered the house, the blind men came to him; and Jesus said to them, "Do you believe that I am able to do this?" They said to him, "Yes, Lord." Then he touched their eyes, saying, "According to your faith be it done to you." And their eyes were opened. And Jesus sternly charged them, "See that no one knows it." But they went away and spread his fame through all that district.

As they were going away, behold, a dumb demoniac was brought to him. And when the demon had been cast out, the dumb man spoke; and the crowds marveled, saying, "Never was anything like this seen in Israel." But the Pharisees said, "He casts out demons by the prince of demons."

And Jesus went about all the cities and villages, teaching in their synagogues and preaching the gospel of the kingdom, and healing every disease and every infirmity among the people.

## Συναξάριον
## Τοῦ Μηναίου.

Τῇ ΙΑ′ τοῦ αὐτου μηνὸς μνήμη τοῦ ἁγίου Μεγαλομάρτυρος Εὔπλου τοῦ Διακόνου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν Ἐγκαινίων τοῦ σεβασμίου καὶ περικαλλοῦς οἴκου καὶ θείου Ναοῦ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ἐλεούσης.

Τῇ αὐτῇ ἡμέρᾳ διήγησις περὶ τῆς ἀχειροποιήτου Εἰκόνος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Μαρτύρων Νεοφύτου, Γαΐου, Γαϊανοῦ, Ζήνωνος, Μάρκου, καὶ Μακαρίου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἐξαέρῳ οἴκῳ τῶν Ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ ἐν τοῖς Δαρείου.

Ὁ Ὅσιος Πασσαρίων ἐν εἰρήνῃ τελειοῦται.

Ὁ Ὅσιος Νήφων, ὁ ἐν τῇ κατὰ τὸν Ἄθω κοινοβιακῇ Μονῇ τοῦ Ἁγίου Διονυσίου ἀσκήσας, καὶ γενόμενος Πατριάρχαης Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τοῦ ἐν Κερκύρᾳ ὑπερφυοῦς κατὰ Ἀγαρηνῶν θαύματος τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Σπυρίδωνος τοῦ θαυματουργοῦ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.
.

## Synaxarion
## From the Menaion.

.On August 11, we commemorate the holy Great-martyr Euplus the Deacon.

On this day we commemorate the consecration of the venerable and beautiful house and church of our most holy Lady Theotokos the Merciful.

On this day we relate the story about the Icon of our Lord God and Savior Jesus Christ, which was not made by human hands.

On this day we commemorate the contest of the holy Martyrs Neophytos, Gaius, Gaianus, Zeno, Mark, and Macarios. Services in their honor were held in the chapel of the holy glorious and wonderworking Unmercenaries Cosmas and Damian, in the Quarter of Darius.

Devout St. Passarion died in peace.

Devout St. Niphon, who lived in asceticism in the cenobitic Monastery of St. Dionysius on Mt. Athos, and who became Patriarch of Constantinople, died in peace.

On this day is the commemoration of the supernatural miracle that our father among the saints Spyridon did against the Hagarenes on the Island of Corfu.

By their holy intercessions, O God, have mercy on us. Amen.